Θ. Β. Γ. Λ.

# ΛΟΓΟΣ

περὶ μεγαλοψυχίας,

*Sive*

# ORATIO

*de*

# MAGNANIMITATE,

*quam*

permissu Superiorum

&

coram consessu eorundem publicè

LIPSIÆ

In Acroaterio Collegii Principum Majoris Infimo

habebat

ThoMas BarDsCh, Gor. LVsat.

XI. Calend. Decembr.

H. C. M.

---

*Literis Wittigavianis.*

YYY077

V I R I S
Nobilissimis, Amplissimis, Consultissimis atq; Prudentissimis,

# Inclyti, qui Gorliciensibus est, ordinis Senatorii Collegis spectatissimis,

CONSULIBUS, JUDICI, SCABINIS, SENATORIBUS & reliquis ASSESSORIBUS,

*DOMINIS MEIS BENIGNISSIMIS:*

---

*Itemq;*
Multùm Reverendis, Clarissimis & Pereximiis,

## Dn. Gothardo Helvigio,
apud Gorlicienses Pastori Primario:

## Dn. Davidi Vechnero,
apud Eosdem Ecclesiæ Ministro, & Scholæ Rectori dignissimo, vigilantissimo:

## Dn. Eliæ Weyrich/
Eiusdem apud Eosdem Ministro desideratissimo:

## Dn. Balthasari Theodoro,
Diacono ibidem Fidelissimo:

## Patronis, Promotoribus, Præceptori, Fautoribus omni obſervantiæ cultu proſequendis, evehendis,

HANC ORATIUNCULAM

*Ipſis Kal. Januar.*

Ineunte (Feliciter!) anno *τῆς ἐνσαρκώσεως* cIↃ IↃc LVI

*STRENÆ LOCO*

humilima manu ad pedes ſubmiſsè deponit

Author,

ὁλοκαρδίως vovens

Anno ſuccedat transacto fauſtior omni
hac- quotquot numerant nempe fuiſſe-tenùs.
Diſſidium ſileat Boreale, velociter anno
JUBILUS accedat cumq; recente recens.
In TE, GORLICIUM, Templumq;, Forumq;, Domusq;
conſenſu exultent, Mœnibus eſto quies:
Ceu ROſa ſic tandem mihi verna videberis, olim
quam preſsêre ſatis Martia Fata diu.
Vobis Vota, VIRI, quoq; ſint mea: fauſtiter anno
cumq; *novo* Fructus dent *nova* vota *novos*.

# DECANUS
## Communitatis ſtudii Bonarum artium & Philoſophiæ in Academia LIPSIENSI.

Quàm ſapienter & congruè de omnibus fermè bonorum generibus, quæ homini in hâc vitâ contingere ſolent, dixerit Terentius: *Qui uti ſcit, ei bona, qui non utitur rectè, mala:* Quivis, qui ea perpendere vix incipit, experitur. Sunt enim hæc omnia, abjectâ mentis moderatione & morum honeſtate, nihil niſi certa quædam arma vel media, quibus & malitia hominum defenditur, & quivis licet ſæpè immeritus offenditur. Si quis de hoc effato dubitet, hominum mores modò perpendat, & ecce inveniet, quod aſſertum noſtrum eò firmius reddat. Sive enim pauperes ſive divites, ſive ingenioſos ſive rudes conſideret, ſi virtute, ingenioſitatis & modeſtiæ rectrice, deſtituantur, ſanè erunt animalia *ἀνοσιώτατα, ἀγριώτατα καὶ χείριστα*, ut vocat. Philoſophus lib. 1. Politicor. c. 2. Quæ vel quosvis obvios vulpinâ calliditate proſternant, vel bonis ſuis corraſis cuticulam curant, & ea ſaltem agant, quibus ſe omnibus admirationi exponant & ridendum præbeant. Hi enim effectus, hi fructus excusſæ modeſtiæ & honeſtatis, adeò, ut licet quis ingenio Ariſtotelem, ſcientiâ Heraclitum, ætate Neſto-

 rem,

rem, pulcritudine Phaonem, robore Milonem superet, attamen si pietatis & veræ virtutis exors fuerit, miserrimus ne dicam porcorum simillimus sit: nam & veris caret bonis, & reliqua, quibus fortè gaudet, suam per improbitatem, in mala nocentissima, veluti mel in bilem, & medicamentum saluberrimum in tabificum venenum convertit. Quod quàm maximè etiam videre est in Magnanimitatis abusu & excessu, fastu scilicet: cui qui indulgent, quid aliud agunt, nisi quod superbiâ inflati seipsos ignorant, suamq; stultitiam & inscitiam celare vix queunt: quin cum Niobe illa Ovidiana exclament:

*Sum felix (quis enim neget hoc) felixq; manebo:*
*hoc quoq; quis dubitat? tutam me copia fecit:*
*Major sum quàm cui possit fortuna nocere.*

Testis ejusmodi audaciæ luculentissimus non tantùm esse poterit omnium aliàs virtutum contemtor Caligula, qui sæpè medius consistens inter Castorem & Pollucem Fratres adorandum se exhibuit & Jovem Latialem se salutare passus est, ut & Attila titulum præ superbiâ hunc sibi arrogans: *Attila Bende-Gutz Filius magni Nimroth nepos in Engadi nutritus, Dei gratiâ Rex Hunnorum, Medorum, Gothorum, Dracorum, Flagellum DEI,* teste Abrah. Backschai in Chronolog. d. reb. Ung. Sed & ipse Alexander Magnus ob fortitudinem aliasq; virtutes magnam aliàs laudem promerens, superbiâ famæ deceptus, ortum Paternum sprevit & Philippi, Jovem Hammonium, teste Ælian. lib. 2. Patrem sibi adscivit, & rejecto mortali habitu DEOS æmulatus est: unde etiam Lacedæmonii hoc fecêre decretum: *Quoniam Alexander vult esse DEUS, esto DEUS*: Cujus vestigia pressit Domitianus, qui DEUS & Dominus appellari voluit, teste Svetonio in Domit. c. 3. Quæ extrema insania nemini alii nisi superbiæ Patrono, Diabolo scilicet, ortum debet. Hæc ergò coercenda malitia, & ad rectæ rationis & honestatis trutinam revocanda, si DEO grata hominibusq; accepta virtus esse debet. Non enim Superbia sed vera Magnanimitas DEO commendatur, & ab hominibus approbatur: Hæc probitas est, quâ res gerendæ invicto non tantùm geruntur animo, sed etiam Divitiæ spernuntur & voluptates negliguntur: Hæc animum afficit & adeò intrepidum reddit, ut, sive fortuna arrideat sive irrideat, ne tantillum sese commoveri patiatur, sed stet instar quercûs Virgilianæ:

*Illa hæret scopulis & quantùm vertice ad auras*
*Ætherias, tantum radice in Tartara tendit.*

Quod pensitans Politissimus atq; Ornatissimus Juvenis THOMAS Bartsch GORLICIO LUSATUS, quan-

quantum huic virtuti debeatur, quidve utilitatis Magnanimitas suis possessoribus conferat, si secundùm rectæ rationis modulum colatur; operam ipsius indagationi haud contemnendam dedit: & quò magis cultum circa eandem nobis probaret suum, elegantem de eâ orationem græcam conscripsit: Quæ cum digna à nobis habita fuerit, ut publici juris, publicæq; recitationis fieret, ipsi diem hodiernum assignavimus, quo Actus hic oratorius, ut moris est, celebrabitur: Ad quem MAGNIFICUM RECTOREM, cæterosq; Facultatum omnium DOCTORES, LICENTIATOS ac MAGISTROS benivolè invitamus, & ut Illustri suâ præsentiâ studium dicentis excitare dignentur, rogamus: Præstantissimos autem Dn. Studiosos honori Commilitonis sui ultrò gratificaturos uti confidimus, ita omnem reciprocam benevolentiam ipsis promittimus. Die XXI. Nov. Anno M DC. LV.

Ὅτι τὸ πρᾶγμα τὸ τῆς μεγαλοψυχίας, ἐπὶ τοῦ σήμερον χρόνου σπάνιον, ἀξίως εἰς τὰς ἀρετὰς τίθεται), πᾶσιν ὑμῖν, Ἀκαδημιάρχα Μεγαλοπρεπὲς, πάντων τῶν ἐπαγγελμάτων καὶ μαθημάτων Δεκάδαρχοι Πολυσπουδότατοι.

Ἄνδρες Γνωριμώτατοι, Ἐνδοξότατοι, καὶ Πολῖται ἢ Κοινωνοὶ τῆς ἀκαδημίας ταύτης, Σπουδαιότατοι, Χαριέστατοι, Φανερὸν γέγονεν. Ἐπειδὴ οὖν μοι ἔμπροσθεν ταύτης τῆς ἀξιωτάτης πανηγύρεως τὸ περὶ μεγαλοψυχίας λέγειν ἔξεστι· πρώτως ἔργα μεγαλοψυχίας ἐν μεγαλοψύχῳ εὑρισκόμενα, καὶ μετέπειτα ποιότητα τοῦ μεγαλοψύχου, καὶ τέλος τὰ τῇ μεγαλοψυχίᾳ ἀκολουθοῦντα διὰ βραχέων ἁπλῶς πειράσομαι διδάσκειν· ἂν ἐθελήσητε τοῦ κοινολογεῖσθαι καὶ ἀσχολεῖσθαι ἀποστάντες, εἰ μὴ ἐμοῦ ἕνεκα, ἀλλ᾽ ὅμως τῆς ἀρετῆς τῆς τοῦ ἀκούεσθαι ἀξίας ἕνεκα ἀκούειν.

Εἰς τοῦτο παρανομίας καὶ ἀνοίας ἀφίκοντο οἱ καθ᾽ ἡμᾶς, ὥστε μεγαλόψυχον ἡγεῖσθαι τὸν χαυνούμενον καὶ τὸν ἐπὶ τῷ μικρὰ εὐτυχεῖν ὑπεξαιρόμενον, τὸν μικροψύχου μᾶλλον ὀνόματι ὀνομάζεσθαι ὀφει-

ὀφείλοντα. χαυνοῦσθαι γάρ ἐστι καὶ ὑπεξαίρεσθαι φέρειν δύνασθαι τιμὴν καὶ εὐτυχίαν· ἣν μὲν φέρειν ἀδυνατοῦντα πῶς τις λέγοι μεγαλόψυχον; ὅταν γὰρ εὐτυχίας τι εἰς τοιοῦτον πίπτῃ, αὐτίκα μεγαλαυχῶν καὶ τοῖς ἐπιλοίποις φανερῶς ἐκτιθεὶς ἑαυτὸν, φέρειν ἀσθενεῖν μάλιστα προφαίνοι.

Ἀλέξανδρος ὁ βασιλεὺς καὶ νικητὴς παντὸς ἐν ὀλίγῳ κόσμου ὢν, περὶ πολλοῦ μὲν ἑκάστοτε ὑπὸ γραμμάτων τῶν ἑλληνικῶν τε καὶ ῥωμαϊκῶν ποιεῖται, καὶ πολλοῖς λέγεται χρηστὸς τὸ ἦθος, καὶ κατ' εἶδος μεγαλοθυμίᾳ δυνάμενος. Ἀλλ' ἀναλεγομένων ἡμῶν πάσας ἐκείνου πράξεις ἐκ τῶν περὶ βιοτῆς τούτου γεγραφότων, δέδεικται, οὐδαμῶς βασιλεῖ τῷ πρότερον λελεγμένῳ τοῦ μακροθύμου ὄνομα τίθεσθαι δεδυνῆσθαι. Ὁ γὰρ τὸν Φίλιππον ἀποστρεφόμενος ἄλλον ἑαυτῷ πατέρα ἐζήτησε, τρόπους καὶ κοσμήματα μακεδονικὰ σκορακίζων ἱματισμῶν τε καὶ ἐθῶν τῶν περσικῶν προσέλαβε, πρὸς τὰ τῶν ἐθημάτων θνητὰ καὶ ἀνθρώπινα ὑπεροπτικῶς ἔχων τὸ θεῖον ἐζήλωσε, προσκυνεῖσθαι ὑπὸ τῶν μακεδόνων βουλόμενος. Ὡς δὲ συντόμως εἰπεῖν, τίνα μὲν τρόπον μεγαλήτωρ καλεῖσθαι δύναται, υἱὸν, πολίτην, ἄνθρωπον διὰ περισσὸν ὑπερηφανίας ἀποπροσποιούμενος; Ἀλλὰ μέτρον τὸ ἐπὶ πᾶσιν ἄριστον οὐκ ἐπετήρησεν, ὑπερβολῇ δὲ πολὺ ἥμαρτε,

γνῶ-

γνῶναι γὰρ χαλεπὸν μέτρον, ὅτ' ἐσθλὰ παρῇ. καὶ ὥσπερ τὸ τοῦ Θεόγνιδος πρὸς Κύρνον·

πάντων μέσ' ἄριστα καὶ οὕτως
Κύρν' ἕξεις ἀρετὴν, ἥντε λαβεῖν χαλεπόν.

Ἐπεὶ δὲ πᾶσα ἐν τῷ μέσῳ ἵσταται ἀρετὴ, καὶ τὸ μέσον δὲ μᾶλλον ἐν ταῖς ἐνδείαις ἢ ταῖς ὑπερβολαῖς ἰσχύει, μὴ μόνον ἀπὸ τῆς ὑπεροχῆς τὸν εὐτυχήσαντα ἀποδρᾶναι, ἀλλὰ καὶ ἀτυχίαν μὴ δυσφορεῖν δεῖ τὸν περὶ τῆς μεγαλοψυχίας, τῆς ἱκανῶς ἐπαινεῖσθαι ἀδυνατούσης, σπουδάζοντα. Ὕστατα γάρ ἐστι τὰ δύο, ἐν οἷς χρυσέαν τὴν μεσότητα τηρεῖν ἔχει ὁ ὑπὲρ τοῦ τὴν μεγάλην ἑαυτῷ ψυχὴν περιάπτειν σπουδάζων. Οὕτω καὶ ὁ Ἰσοκράτης πρὸς Νικοκλέα· μεγαλόφρονας εἶναι νόμιζε μὴ τοὺς μείζω περιβαλλομένους, ὧν οἷοί τε εἰσὶ κατασχεῖν, ἀλλὰ μετρίων μὲν ἐφιεμένους, ἐξεργάζεσθαι δὲ δυναμένους, οἷς ἂν ἐπιχειρῶσιν. Ὅταν μὲν ἀποβλέψωσιν ἄνθρωποι εἰς τὰς τιμὰς καὶ τοὺς πλούτους καὶ τὰς δυναστείας, ἰσοθέους νομίζουσι τῶν αὐτῶν κτήτορας. Ἀλλ' εἰ καί τις μεγίστους πλούτους κτᾶται, εἰ καί τις μεγίσταις τιμαῖς τιμᾶται· ἥκιστα δήπου πανόλβιος λεχθῆναι ἄξιός ἐστιν, εἰ μὴ πρὸς αὐτὸν κτῆσις ἡ μεγάλου τῆς μεγαλοψυχίας θησαυροῦ, καλῶς καὶ μετρίως καὶ τὰς συμφορὰς καὶ τὰς εὐτυχίας φέρειν ἐπιστάμενον. Τοὺς γὰρ ἐν πλείσταις ἐξουσίαις γεγενημένους ἴδοι τις ἂν ταῖς μεγίσταις συμφοραῖς περιπεπτωκότας· καὶ



κατα

κατὰ κυκώμενον τοῦτο πᾶσιν ἔπος· τὰ μέγιστα καλὰ ἄνευ μεγάλων κακῶν οὐκ ἔστι.

Οἱ εὐνοϊκῶς οὖν πρὸς σφᾶς αὐτοὺς ἔχοντες εἰς μηδέτερον τῶν ὑστάτων μᾶλλον ἐγκλίνοντες καὶ εὐτυχίαν τε καὶ ἀτυχίαν, καὶ τιμήν τε καὶ ἀτιμίαν καλῶς καὶ εὐψύχως ἐνέγκειν δύνανται, μεγαλείου ἀπὸ τῆς μεγαλοψυχίας προβάντος ἔργου ἀπολαύοντες, καὶ ἐνθυμούμενοι τὸ τοῦ Μεγαρέως νουθετικόν·

μήτε κακοῖσι νοσῶν λύπου φρένα, μήτ' ἀγαθοῖσι
τερφθῇς ἐξαπίνης, πρὶν τέλος ἄκρον ἰδεῖν.
μηδὲν ἄγαν χαλεποῖσιν ἄσω φρένα, μηδ' ἀγαθοῖσι
χαῖρ'· ἐπεὶ ἐς' ἀνδρὸς πάντα φέρειν ἀγαθοῦ.

Καὶ οὕτω πέφυκεν ἔργον παναρίστου εὐψυχίας τεθειμμένον εἰς μετριότητος ἐπαινετὸν κύκλον.

Παρὰ δὲ τοῦτο καὶ ἑτέραν νῦν τίθεμεν ἐνέργειαν, διατρίβουσαν περὶ τὸ μὴ θαυμάζειν, τὰ μὲν ἐξαιρέτως τοῖς πολλοῖς κοινῶς δοκοῦντα, τὰ δὲ μᾶλλον κατόπισθεν τῷ μεγαλοψύχῳ ἐπιθεωρητέον.

Τῷ οὖν πλήθει τὰ τέσσαρα ἐπὶ πολὺ θαυμαστὰ φαίνεται, τρυφή, θεραπεία, ἐξουσία, καὶ αἱ νῖκαι ἐναγώνιοι.

Παρρησιάζοντες δὴ παντάπασιν ὁμολογοῦμεν, τὰς νίκας ἐξαιρέτους εἶναι πράξεις καὶ ἀξιεπαινέτους, καὶ μεθ' ἡμῶν ὁ τυχὼν ἀναμφισβητήτως προσομολογήσει, ἢ παρόντα χρόνον ἢ παλαιόν τις ἂν προσβλέποι, τρόπαιον θεῖναι περιφανές τι εἶναι. Καὶ τί μὴ περιφανές; Ἀθηναῖοι ὑπὲρ εὐδοξίας καὶ τιμῆς ἤθελον τοῖς δεινοῖς πολέμοις αὐτοὺς διδόναι, Δημοσθένους λέγοντος, καὶ πορθυομένους λέγειν τε καὶ παρακαλεῖν οὕτω· πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου ὁ θάνατος. Δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς, τὴν ἀγαθὴν προσβαλλομένους ἐλπίδα, φέρειν, δ' ὅ, τι ἂν ὁ Θεὸς διδῷ, γενναίως.

Ἃ μὲν πάντα εὔνοιαν τῶν πρεσβυτέρων εἰς τὰ νικήματα σαφῶς σαφηνίζουσι.

Πρὸς τούτοις καὶ μνημεῖα εὔδοξα καὶ ὀλυμπιάδες πολύτεχνοι καὶ παντοῖα τρόπαια ἀντὶ βραβείου τοῖς ἀνδρείοις νικηφόροις ἀνέδην δημοσίᾳ ἐκτεθειμμένα τοὺς πρὸ ἡμῶν προγόνους πλείστου τὰς νίκας τετιμηκότας μαρτυροῦσι. Τίς γὰρ πρὸς Θεοῦ τούτων ἐξοχή; τίς ἰδοὺ δαπάνη καὶ πόνος; τίνα μὲν ἔργα; οἱ δηλαδὴ πρὸ ἡμῶν γενόμενοι τούτων τῶν πάντων οὐκ φεισάμενοι, νικητὰς ὄντας τούτων ἀξίους ἡγεῖσθαι).

Ἔπειτα ἀποχωρουμένων ἡμῶν πρὸς γενεὰν τὴν ἡμετέραν, οἴδαμεν καὶ αὐτὴν μὴ χωρὶς ζημίας νικητήρια παρεμφαίνειν· ὃ πρόδηλόν ἐστιν ἄνευ πολυλόγου περιαγωγῆς. ὥστε γινώσκειν δύ-

δύνασθαι, τὰς νίκας μὴ μόνον αἰνέσεως, ἀλλὰ καὶ βελτίστων ἀξίας νικητηρίων.

Ἀλλ' ὦσιν ἀξιεπαίνετοι, οὐδαμὴ τωλμῶμεν βλασφημεῖν περὶ τῶν νικῶν, μηδὲ μισεῖν, τὸν περὶ μεγαλοψυχίαν μέντοι διατρίβοντα χρὴ, μὴ πλείστου ποιεῖσθαι τὰς νίκας, τὰς εὐμεταβόλους, καὶ εἰς χειρίστην ἀλαζονείαν ῥάδιον ἀγούσας· ἐπισκοπεῖν δὲ, θαύματος οὐκ ἄξιον εἶναι τὸ πρᾶγμα, τὸ μὴ μόνων καλῶν, ἀλλὰ καὶ φαύλων ἅπτεσθαι δυνάμενον.

Ἐὰν δὲ καὶ ἐξουσίαν, λίαν καταινουμένην καὶ θαυμαζομένην ἀπὸ τοῦ πλήθους, σκεπτώμεθα, ἡμῖν πολλὰ μὲν ἐμπίπτει, τὰ πρὸς ἐγκώμιον τῆς αὐτῆς ποιούμενα. χρημάτων γὰρ εὐποροῦντας καὶ δυναστείας συντείνοντας τίς μὴ μεγίσταις τιμαῖς τιμᾷ; τίς μὴ χερσίντε ποσίντε πονήσας ζητεῖ τυχεῖν ἐξουσιαζόντων οἶκτον κατὰ μικρόν; Καὶ πάντως διὰ ταύτην τὴν ἐξουσίαν πολλὰ καὶ μεγάλα τῶν καλῶντε καὶ κακῶν πράττεσθαι δῆλόν ἐστι. Διὰ ταύτην ὁ Εὐαγόρας τὴν ἀρχὴν πάλιν ἀνέλαβεν ὑποστὰς τοὺς κινδύνους μεγίστους. Διὰ ταύτην γὰρ Τεῦκρος μὲν παραλαβὼν τοὺς τῶν ἄλλων πολιτῶν προγόνους πόλιν αὐτοῖς ἔκτισεν καὶ ταύτην διένειμεν. Διὰ ταύτην Διονύσιος ὁ Τύραννος τὴν αὐτοῦ πατρίδα πολιορκουμένην, οὐ μόνον τῶν παρόντων κινδύνων ἀπήλ-

ἀπήλλαξεν, ἀλλὰ καὶ μεγίστην τὴν ἑλληνίδων πόλεων ἐπόιησεν.

Οὐδεμίαν δὲ καὶ ταύτην εἶναι ἐκ τοῦ ταχέως τὴν αὐτὴν διαλύεσθαι πρόδηλόν ἐστι. Πλούσιος γὰρ ὡς ἄνθος χόρτου παρελεύσεται· ἀνέτειλε γὰρ ὁ ἥλιος σὺν τῷ καύσωνι, καὶ ἐξήρανε τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε, καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο, οὕτω καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ μαρανθήσεται.

Ἔτι μὲν καὶ τοιαύτῃ ἐξουσίᾳ σφόδρα καταχρῶνται ἀναγκάζοντες πολλοὺς τῶν ἀνθρώπων ἐν τῇ Βοημίᾳ καὶ τῇ Σιλησίᾳ ἀπὸ τῆς ἀληθογνωσίας ἀποστῆναι, ἢ παμπόλλαις καὶ φοβερωτάταις ζημίαις θαναλωθῆναι, μὴ μιμούμενοι τὸν ἐκεῖνον περὶ ἑαυτοῦ λέγοντα· λαβὼν δὲ ἐξουσίαν, ὥστε ποιεῖν, ὅτι ἂν βούλομαι, σωφρονέστερος τῶν ἰδιωτῶν ἐγενόμην.

Οὐ μὴν δὴ καὶ τὴν αὐτὴν ἐξουσίαν φράζει μηδεμίαν Σωτὴρ ἡμῶν χριστὸς, λέγων· μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι· ἀποδείξω δὲ ὑμῖν τίνα φοβηθῆτε, φοβήθητε τὸν μετὰ τὸ ἀποκτεῖναι ἐξουσίαν ἔχοντα ἐμβαλεῖν εἰς τὴν γέενναν· ναὶ λέγω ὑμῖν, τοῦτον φοβήθητε.

Τούτῳ

Τούτῳ οὖν ἑπόμενος ὁ τῆς μεγαλοψυχίας φίλος ταύτην ἐξουσίαν μᾶλλον εἰς κακίαν ἢ ἀρετὴν ἄγουσαν, περὶ ὀλίγου ποιήσας τὰς ἰδίας ἐξουσίας ἐπιθυμοῦντα, καὶ παρὰ τοῦ μετρίου τὴν αὐτὴν ἀγάμενον ἐφ' ἑαυτῷ γελάσθαι.

Εἰς θεραπείαν ἀλλ' ἤδη εἰσβαλλόμεθα οὐχ ὑστάτην τῶν ὑπερθαυμασθῆναι τοῖς πολλοῖς ἐπιτυχῶς εἰθισμένων. Ἡ δὲ ὅτι πολλοῦ πρὸς πλείστους ἀξιοῦται, καθ' ἑκάστην ἡμέραν σαφές ἐστι. Τί γὰρ γνωριμώτερόν ἐστ' ἐφ' ἡμῶν, ἤπερ ὑφ' ἑαυτὸν ἔχειν θεραπεύοντας; ὥστε καὶ, ὥσπερεὶ οἱ τῶν πιθήκων, ὅστις θεραπείαν αὐτῷ προσνέμειν ἕτερος ἑτέρου θεραπεύοντα ἑαυτὸν προσομολογοῦν πολλάκις οὐκ εἰδὼς τὸ τί τοῦ θεραπεύειν. Ἀρετόφιλον δὲ, εἰς τὰ πρῶτα χριστιανὸν, δεῖ ταύτην θεραπείαν μικρὸν καλὴν, μικρὸν ὠφελῆ, μικρὸν ἤδη μὴ θαυμάζεσθαι, τῶν ἀνθρώπων βοήθειαν εἶναι ὀλίγην ἐπιστάμενον.

Περὶ τῆς τρυφῆς δὲ τί μεγαλονοίᾳ νομιστέον; θαυμαστέον; πολλοῦ τιμητέον; ἥκιστα πάντων. Τρυφὴ μὲν καὶ ἀσωτία, μεγάλα ἐπιζητοῦσαι ἀναλωμάτων, πλείστοις λίαν ἀρέσκουσιν, ἡγουμένοις ἐν τῷ τρυφᾷν καὶ τὴν μόνην, καὶ τὴν ὑψίστην καὶ τὴν νεωτάτην τεθεῖσθαι εὐτυχίαν· ἐπειδὴ ὅμως τρυφὴ παρὰ τὸ θρύπτειν λέγεται, ὡς διακλῶσα καὶ ἀφανίζουσα ἡμῶν τὸ σῶμα.

Ἀλλ'

Ἀλλ' ἂν ἐνθυμοῖντο τρυφόφιλοι καρποὺς τοὺς ἀκολουθοῦντας τρυφῇ, οὓς ὁ Φίλιππος Μελάγχθων, ὅλης τῆς Γερμανίας ἐπιστάτης, τρεῖς πρώτους ἀριθμεῖ, πενίαν δηλονότι, νόσον καὶ αἰώνιον ψυχῆς ἀποδίωξιν.

Τοῦτο μαρτυρεῖται ὁ ἀπολόμενος υἱὸς, ἀπὸ τοῦ Χριστοῦ καταγέγραπτος, ὁ συνάγων ἅπαντα τῆς οὐσίας, ἀπεδήμησεν εἰς χώραν μακρὰν, καὶ ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως. Δαπανήσαντος δὲ αὐτοῦ πάντα, ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην. Καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι, καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης, καὶ ἔπεμψεν αὐτὸς εἰς τοὺς ἀγροὺς αὐτοῦ, βόσκειν χοίρους. καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων, ὧν ἤσθιον οἱ χοῖροι, καὶ οὐδεὶς ἐδίδου αὐτῷ. Ἰδοὺ ἥτις ἀχρηματία ἠκολούθει τοῖς χρημάτοις δι' ἃ ἀσώτως ἔζησεν! ἥτις πενία ἥπετο τῇ πρότερον χρημάτων εὐπορίᾳ! μὴ μόνη δὲ πενίᾳ ἐπιέζετο, ἀλλὰ καὶ τὴν ψυχὴν ἐζημιοῦτο, οὕτως ἀναφωνήσας, ἥμαρτον εἰς τὸν οὐρανόν!

Ὧδέ πως καὶ γνῶμαι τοῦ Θεόγνιδος μέμνηνταί τινος πλουσίου ἀσώτως πρῶτον ζῶντος, καὶ τέλος πτωχεύοντος·

εἶδον δ' ἄλλον, ὃς ἦν γαστρὶ χαριζόμενος·
χρήματα μὲν διέτριψεν· ἔφη δ' ὑπάγω φρένα
τέρψας



πτω-

πτωχεύει δὲ φίλους πάντας, ὅπου τιν᾽ ἴδῃ.

Νόσους ἐκ τρυφῆς ἐρχομένας πολλαπλασίους πολυλόγως φράζειν μάτην ἐστί. Κατὰ γὰρ ἑκάστην ἀχθόμενοι τοῦτο πειρώμεθα. Ὢ οὖν τρυφήν! ὢ πᾶσι μισητέον τρυφήν! ἣ καὶ ὁ Φωκυλίδης ὀλίγον τίθησιν ἐγκώμιον γράψας·

ἡ πολλὴ δὲ τρυφὴ πρὸς ἀμέτρους ἕλκει ἔρωτας.

Μυρίας ἐπὶ δὲ ἑτέρας τῶν βλαβῶν τῇ τρυφῇ παρακολουθουσῶν εἰπεῖν ἔχων παραλείπω, διὰ τὸ καθημέραν πείρας οὐκ ἀδήλων εἰδώς.

Ἔτι τοίνυν ὅσῳ μᾶλλον σωφροσύνην, τὸ ἴδιον κτῆμα τῶν καλῶν κἀγαθῶν ὄν, φιλεῖν ὀφειλόμεθα, τοσούτῳ μᾶλλον τρυφὴν μισεῖν, μηδὲ θαυμάζειν ὀφειλόμεθα, εἰδότες καὶ ἄριστα καταλαμβάνοντες τὸ τοῦ Σωτῆρος ἡμῶν· προσέχετε ἑαυτοῖς, μέποθε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ.

Ποῦ τοίνυν μεγαλοψυχίας βλέπομεν ἔργα; εἰ ἐν τούτοις, τοῖς ἐπιλοίποις ἀνθρώπων μεγαλεῖα δοκοῦσι; μηδαμῶς. ἀλλ᾽ ἔχειν προσήκει τι βάθος τῆς ψυχῆς καὶ μέγεθος, πάντα τῶν λελεγμένων μὴ θαυμάζον, παρ᾽ οὐδὲν ποιοῦν. Τὰ δὲ περὶ τελείωσιν τῆς ψυχῆς πλείστου τιμῶν τὰ μεγαλεῖα Θεοῦ διανοούμενον. Ἐπὰν πλοῦτος καὶ δόξα καὶ ἡδοναὶ οὐδὲν ὦσι πρὸς τὸν ἐν τῇ ἀρετῇ βίον. Πάντα γὰρ ἄλλα προστεθήσεται, Χριστοῦ λέγοντος, ἡμῖν σκεπτόμενον κατὰ τὸ δυνατὸν καὶ ἐν τούτῳ τῷ κόσμῳ μέλλουσαν βασιλείαν τοῦ Θεοῦ ἐπιστάμενον αὐτὴν οὐκ εἶναι βρῶσιν καὶ πόσιν, ἀλλὰ δικαιοσύνην καὶ εἰρήνην καὶ χαρὰν ἐν πνεύματι ἁγίῳ.

Ἔργων οὖν βραχέως ἐκτεθέντων μεγαλοψυχίας, αὐτόταντον μεγαλόψυχον τὸν ταῦτα μὲν ἔργα περιβληθέντα, φέρε σκεψώμεθα.

Ἔστι δὲ μεγαλόψυχος πρώτως ὁ τὸ ζῆν οὐ περὶ πολλοῦ ποιούμενος. Τὸ ζῆν μὲν μεγάλου ποιεῖσθαι κατεχόμεθα, γινώσκοντες ἀπὸ τοῦ Θεοῦ παντοκράτορος δοθέν, καὶ ἄνευ αὐτοῦ φυλάττοντος φυλάττεσθαι μὴ δυνατόν. Θεὸς γάρ, καθάπερ Παῦλος, ἐν μέσῳ τοῦ Ἀρείου πάγου σταθείς, ἀθηναίους κατὰ πάντα ὡς δεισιδαιμονεστέρους θεωρῶν, ἔφη, αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν κατὰ πάντα, καὶ ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. Καὶ τίς οὐκ ἂν διαφέρει τὴν ζωὴν τοῦ θανάτου, τὸ αἰσθητὸν τοῦ ἀναισθήτου, τὸ κινητὸν τοῦ ἀκινήτου, τὸ λογικὸν τοῦ ἀλόγου, εἰ μὴ αὐτὸς ἄλογος ἀκούειν βουλόμενος:

Ἀλλὰ μηδὲ μεγαλόψυχος πάνυ βίον πᾶσι πολυτίμητον ἀποτίθησι, τὰς ἄνω προσαχθέντας τῶν δοκιμασιῶν ἐξετάσας, μόνως μὴ περὶ πολλοῦ ποιεῖται, καὶ τοῦτο μηδ᾽ ἀλόγως, ὀπλάνων, ὅτι βραχύτατός ἐστι βίος, καὶ γὰρ

Οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ᾽ ἔμπεδον αἰεί·
οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν.

ὀπλάνων, ὅτι κακίας καὶ παντοδαπὰ ἁμαρτήματα περιβεβλημένος, ἐπεὶ

οὐδὲ μάκαρ οὐδεὶς πέλεται βροτὸς, ἀλλὰ πονηροὶ
πάντες, ὅσους θνητοὺς ἠέλιος καθορᾷ.
ἀλλ᾽ ἄλλῳ κακόν ἐστι. Τὸ δ᾽ ἀτρεκὲς ὄλβιος οὐδεὶς
ἀνθρώπων.

ὀπλάνων τέλος, καὶ τοῦτο μᾶλλον χριστιανὸς, ἐκ τοῦ ὑπὸ τοῦ Ἰησοῦ παραγεγυμνωμένου λόγου, ὅτι ἕτερος καὶ κρείττων καὶ αἰώνιος ὁμαρτήσει βίος, πιστεύων ἰδεῖν τὰ ἀγαθὰ Κυρίου, ἐν γῇ ζώντων. Ὃ καὶ Πυθαγόρας κἂν ἐθνικὸς ἐλευθέρως ὡμολόγησεν·

Ἢν ἀπολείψας σῶμα, ἐς αἰθέρ᾽ ἐλεύθερον ἔλθῃς,
Ἔσσεαι ἀθάνατος Θεὸς, ἄμβροτος, οὐκ ἔτι θνητός.

Καὶ ὡς ἐν κεφαλαίῳ εἰπεῖν, ἐκ τοῦ, τὸ ζῆν περὶ πολλοῦ ποιεῖσθαι, ἔρχεται τὸ περὶ ὀλίγου ποιεῖσθαι τὴν μέλλουσαν ζωὴν, τὴν πολλῷ κρείττονα ταύτης.

Καθεξῆς καὶ μὴ φιλόζωός ἐστι μεγαλόψυχος, ὁ ἤδη ἡμῖν λεγόμενος, οὕτως ὡς μὴ ἐν παντὶ χρόνῳ καὶ τόπῳ ζωὴν τοῦ θανάτου διαφέρειν νομίζῃ. Ἐν οἷς δὲ χρόνοις τελευτητέον, καὶ τότε μεγαλόνοιον οὐδ᾽ εἶναι φιλόζωον ἔοικεν. Ἡ γὰρ ἄγαν ζωῆς φιλία Μούτιον Ἀκύλλιον καλῶς καὶ εὐκαίρως ἀποθνήσκειν οὐ βουλόμενον ἐποίησεν εἰς τὸν ἐπίλοιπον χρόνον αἰσχρῶς βιῶσαι. ὢ αἰσχροῦ! ὢ αἰσχροτάτου σμικροῦ βίου ἔρωτα! ὃς τὸν ἄνδρα τοῦτον, τὸν ἄλλομεν ἀρετῇ δυνάμενον, πεποίηκεν ὀλιγόψυχον.

Ἀπὸ

Ἀπὸ τούτου φιλόζωοι καὶ μικρόψυχοι δικαίως λέγονται οἱ ὑπὲρ ἀληθογνωσίας καὶ πατρίδος καὶ δι᾽ ἄλλην καλὴν αἰτίαν θνήσκειν ἀνανεύοντες, ὀφείλοντες μέντοι καὶ ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς τιθέναι, ὅτι χριστὸς ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἔθηκεν, οὐκ ἐνθυμούμενοι τὸ τοῦ πρὸς Νικοκλέα, αἱροῦ καλῶς τεθνάναι μᾶλλον, ἢ ζῆν αἰσχρῶς.

Πολλοὶ μὲν, ὡς ἐπίλοιπα σιγᾶν, τῶν ἐν τῷ παρόντι ἀναγκαζομένων καταλεῖψαι ἀληθογνωσίαν, μᾶλλον φιλοῦσι τὰ κακῆς ζωῆς λείψανα, ἢ τὴν τῆς ψυχῆς σωτηρίαν, μηδ᾽ εἰδέναι θελόντων ματαιότητα τῆς ζωῆς ἡμετέρας, ὅτι πᾶσα σὰρξ ὡς χόρτος καὶ πᾶσα δόξα ἀνθρώπων ὡς ἄνθος χόρτου. Ποία γὰρ ἡ ζωὴ ἡμῶν; Ἀτμίς ἐστιν ἡ πρὸς ὀλίγον φαινομένη, ἔπειτα δὲ ἀφανιζομένη. Καὶ οὐκ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν.

Τούτων οὖν ἀκουσθέντων οὐδεὶς φιλόζωος ἔσται, εἰ μὴ αὐτομάτως κακόφιλος ὤν.

Ἐντεῦθεν δὲ καὶ ἁπλοῦν τῷ ἤθει καὶ ἀκέραιον οἴδαμεν μεγαλόψυχον, οἵους Σωτὴρ ἡμῶν ποτε μαθητὰς αὐτοῦ βούλεται, λέγων· γίνεσθε ἀκέραιοι, ὡς αἱ περιστεραί.

Ἀλλ᾽ ἐκείνη ἁπλότητι καὶ γενναιότητα βλέπομεν κοινωθεῖσαν ἐν τῷ μεγαλοθύμῳ, ὡς ἀδικεῖσθαι δυναμένῳ, καὶ οὐ τιμωρητικῷ, τῷ δὲ ἐπιστήμονι, ὅτι



ἐνδι-

ἐκδίκησις κυρίου, λέγοντος· ἐγὼ ἀνταποδώσω. Κατανοοῦντι μὲν τὸ τοῦ Πέτρου νουθέτημα, μὴ ἀποδίδοτε κακὸν ἀντὶ κακοῦ, ἢ λοιδορίαν ἀντὶ λοιδορίας, καὶ τὸ τοῦ Παύλου· ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, μήτε δίδοτε τόπον τῷ διαβόλῳ, γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοί· Κύριος γὰρ κρινεῖ τὸν λαὸν αὐτοῦ.

Καὶ ὧδέ πως μαθηταὶ τοῦ χριστοῦ μεγαλήτορες καλεῖσθαι οὐχὶ ἱκανοί εἰσι, τιμωρητικοὶ δήπουθεν καὶ ἀδικεῖσθαι οὐ βουλόμενοι, βουλόμενοι δὲ εἰπεῖν, πῦρ καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ καὶ ἀναλῶσαι τοὺς οὐ δεχομένους τὸν Ἰησοῦν σὺν τοῖς αὐτοῖς. ὧν μὲν ἄωρον ἄμυναν αὐτὸς Ἰησοῦς ἐπανώρθωσε καὶ στραφεὶς ἐπετίμησεν αὐτοῖς καὶ εἶπεν· οὐκ οἴδατε οἵου πνεύματός ἐστε ὑμεῖς;

Δυοῖν δὲ νῦν μεροῖν τούτου τοῦ λόγου λεχθέντοιν, εἰπεῖν μοι ἐπαγγείλαντι ὑπολοιπόν ἐστι, τὰ ἀκολουθοῦντα τῇ μεγαλοψυχίᾳ, τὰ τρία εἰς τὰ πρῶτα· ἁπλότητα δήπου καὶ γενναιότητα καὶ ἀλήθειαν. Τὰ μὲν δύο πρότερα, ὡς τὰ ἐκ τῶν προειρημένων γινώσκεσθαι μάλιστα δυνάμενα, παρατρέχων, φημὶ καὶ τὴν ἀλήθειαν ἀκόλουθον εἶναι τῆς μεγαλοψυχίας, τῆς ἄνευ προσωποληψίας καὶ ἀφόβως κατὰ τὴν γενναιότητα αὐτῆς ἀληθευούσης.

Ὥστε ὅλον εἰπεῖν, εἰ μὴ δι᾽ ἄλλο, δι᾽ ἀλήθειαν ὅμως περὶ τὴν μεγαλοψυχίαν σπουδάζειν ὀφείλομεν,



τὴν ποιοῦσαν τὸν ἀσκηθέντα τὰ περὶ αὐτῆς, ἰσόθεον. Πυθαγόρας γὰρ ἐρωτηθείς, τί τοὺς ἀνθρώπους ἰσοθέους ποιῇ, ἀπεκρίθη, ἀλήθεια· ἣν μὲν ἀσκοῦντες πρὸς τὸν Θεὸν ἐκ μέρους συμβάλλεσθαι δύνανται.

Ἀλλὰ τοῦτον τὸν λόγον παύσας, οὕτως, ὦ μεγαλοψυχία, τὴν ἀξιότητά σου ἐκτέθεικα καὶ εἴρηκα· καὶ εἰ μὲν καλῶς καὶ ἀξίως ταύτης τῆς ἀρετῆς εἴρηκα, εἶπον, ὡς ἐβουλόμην· εἰ δὲ ἐνδεεστέρως, ὡς ἐδυνάμην. Ὑμεῖς δὲ καὶ ἐκ τῶν εἰρημένων λόγων καὶ ἐκ τῶν παραλειπομένων αὐτοὶ διαμένοντες ἐπὶ μέσῳ, ἐπεὶ πᾶν τὸ περιττὸν ἄκαιρον, περὶ τὰ τῆς μεγαλοψυχίας σπουδαίως διατρίβετε,

Ἡ δ᾽ ἀρετὴ τόδ᾽ ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον,
Κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ σοφῷ.

Θ. Β. Γ. Λ.

BIBL. UNIW. WROCŁ.

Q. D. B. V.

*CHRISTIANI WEISII,* 1679

# ORATIO
De
# CONSCIENTIA PRÆCEPTORUM,

habita

*IN GYMNASIO ZITTAVIENSI*

cum

*d. 20. Junii M DC LXXXIV.* 1684

NOVUS CONRECTOR

esset introducendus.

*Accessit*

Ob similitudinem Argumenti

ORATIO

De

OFFICIO COLLEGÆ TERTII,

habita

*d. 14. Mart. M DC LXXXIX.* 1679

*ZITTAVIÆ,*
Typis & impensis Michaëlis Hartmanni.

3
BIBL. UNIV. WROCLAW
YYY078